Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XIV. De Universalibus calamitatibus.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

ἅπαν τῆς πόλεως ἀπὸ τοῦ ἀρκτῴου μέχρι τοῦ νοτίου κλίματος δαπανηθῆναι, ἐπὶ πέντε μὲν σταδίους τὸ μῆκος, δεκατέσσαρας δὲ τὸ πλάτος· ὡς μηδὲν μεταξὺ καταλειφθῆναι, μὴ δημοσίων, μὴ ἰδιωτικῶν οἰκοδομιῶν, μὴ κίονας, μὴ τὰς ἐκ λίθων ψαλίδας· ἀλλὰ πᾶσαν ἀπεσκληκυῖαν ὕλην, ὥσπέρ τι τῶν εὐεξάπτων κατακαυθῆναι. τοῦτο δὲ τὸ κακὸν γέγονεν ἐν μὲν τῷ βορείῳ κλίματι, ἐν ᾧ δὲ νεώρια τῆς πόλεως καθεστᾶσιν, ἀπὸ τοῦ καλουμένου βοὸς πόρου, μέχρι τοῦ παλαιοῦ ἀπόλλωνος ἱεροῦ· ἐν δὲ τῷ νοτίῳ, ἀπὸ τοῦ ἰουλιανοῦ λιμένος μέχρι οἰκιῶν οὐ πολὺ κειμένων τοῦ εὐκτηρίου τῆς ἐπίκλην ὁμονοίας ἐκκλησίας· ἐν δὲ τῷ μεσαιτάτῳ τῆς πόλεως μέρει, ἀπὸ τοῦ κωνσταντίνου προσαγορευομένου φόρου μέχρι τῆς τοῦ ταύρου καλουμένης ἀγορᾶς, οἰκτρὸν πᾶσι θέαμα καὶ εἰδεχθέστατον. ὅσα γὰρ ἐπηώρητο τῇ πόλει κάλλη, ἢ πρὸς τὸ μεγαλοπρεπὲς καὶ ἀπαράβλητον ἐξησκημένα, ἢ πρὸς κοινὰς ἢ ἰδιωτικὰς καλεῦ-ταχρείας, ὑφ' ἓν ἐς ὄρη τε καὶ βουνοὺς ἀπεσχεδιάσθη δυσβάτους τε καὶ δυσδιαπορεύτους, ἐκ παντοίων ὑλῶν πλήρεις, τὴν προτέραν συγχέοντας ὄψιν· ὡς μηδὲ τοῖς οἰκήτορσι τῶν τόπων ἐπιτρέπειν εἰδέναι, τί τε ἢ ὅπῃ τῶν προτέρων ἐτύγχανεν ὄν.

A trionali latere ad meridianam partem, longitudine quidem stadiorum quinque, quatuordecim verò latitudine, ita consumptum est, ut tam ex publicis, quàm ex privatis ædibus nihil omninò remanserit; non columnæ, non lapidei fornices: sed prædura omnis materia, perinde ac stipula, concremata sit. Porro hæc clades in septentrionali quidem parte, in qua sunt urbis navalia, grassata est, à Bosporo usque ad vetus Apollinis fanum. In meridiana autem regione, à portu Juliani usque ad domos, quæ haud procul absunt ab Ecclesia, quæ dicitur Homonoeæ. In media autem ur-

B bis parte, à Constantini foro usque ad forum Tauri, miserabile & horrendum cunctis spectaculum reliquit. Nam quæcunque ornamenta urbis eminebant, aut incomparabili quadam magnificentia exculta, aut publicis ac privatis usibus accomodata, in montes coacervata sunt ac tumulos inaccessos, atque impervios, omnique materiæ genere refertos, ac priorem urbis speciem deformantes. Adeo ut ne ipsis quidem locorum incolis facile esset dignoscere, quid & quo in loco unumquodque ex prioribus illis ædificiis extitisset.

C

## Κεφ. ιδʹ.

### Περὶ καθολικῶν παθημάτων.

Ὑπὸ τοῖς αὐτοῖς χρόνοις, τοῦ σκυθικοῦ πολέμου συνισταμένου πρὸς τοὺς ἑῴους ῥωμαίους, ἥ τε θρᾳκία γῆ, καὶ ὁ ἑλλήσποντος ἐσείσθη, καὶ ἰωνία, καὶ αἱ καλούμεναι κυκλάδες νῆσοι· ὡς κνίδου, καὶ τῆς κῶ τῶν νήσων τὰ πολλὰ κατενεχθῆναι. καὶ ὄμβρους δὲ ἐξαισίους ὁ πρίσκος ἱστορεῖ γενέσθαι ἀνὰ τὴν κωνσταντινούπολιν καὶ τὴν βιθυνῶν χώραν, ἐπὶ τρεῖς καὶ τέσσαρας ἡμέρας ποταμηδὸν τῶν ὑδάτων ἐξ οὐρανοῦ φερομένων· καὶ ὄρη μὲν ἐς πεδία κατενεχθῆναι. κατακλυσθείσας δὲ κώμας παραπολέσθαι· γενέσθαι δὲ καὶ νήσους ἐν τῇ βοάνῃ λίμνῃ, οὐ μακρὰν τῆς νικομηδείας ἀφεστώσης, ἐκ τῶν συνενεχθέντων ἐς αὐτὴν παμπόλλων φορυτῶν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπράχθη.

## CAP. XIV.

### *De universalibus calamitatibus.*

Sub idem tempus, cum bellum Scythicum contra Orientales Romanos motum esset, Thracia & Hellespontus terræ motu concussæ sunt. Jonia quoque & insulæ Cyclades eandem calamitatem sunt expertæ; ita ut in Cnido & Co Insulis, pleraque ædificia corruerint. Præterea immensos imbres Constantinopoli & in Bithyniæ partibus accidisse refert Priscus, cum

D trium aut quatuor dierum spatio aqua è cœlo, fluviorum instar decidisset. Ac montes quidem in planitiem depressos esse: vicos verò complures aquis obrutos periisse. Insulas quoque in Boanensi lacu, qui est juxta Nicomediam, exortas esse ex quisquiliis quamplurimis, quæ alluvione illuc delatæ fuerant. Verum hæc quidem aliquantò post contigerunt.